Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

Caput IX. De Serapione Archidiacono, & de sancta Olympiade: & quomodo quida[m] egregij viri Ioannem contumeliose insectati sint, sae vum & violentum appellantes.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

per hæc in fraudem induceretur, plebem quæ sub ipso erat, ut similiter psalleret incitavit. Qui brevi tempore illustriores facti, Arianos & multitudine & apparatus splendore longe superarunt. Nam & crucum argentea signa, præcedentibus cereis, eos anteibant: & Eunuchus Imperatricis huic rei præpositus erat, qui idoneum ad hæc sumptum & hymnos ad canendum præpararet. Hinc Ariani seu invidia moti, seu vindictæ cupiditate, Catholicos pugna adorti sunt. Ac nonnulli quidem ex utraque parte ceciderunt. Briso vero, id enim nomen erat Imperatricis cubiculario, saxo in fronte percussus est. Qua re Imperator commotus, hujusmodi Arianorum conventus deinceps inhibuit. Catholici vero, cùm ex hujusmodi causa hymnos eo quo diximus modo canere cœpissent, in hunc usque diem ita perseverarunt. Ex his rebus, & ex Ecclesiasticis concionibus, populi quidem benevolentia erga Ioannem indies augebatur. Potentium autem hominum & clericorum odium in eum gliscebat, ex loquendi libertate, quâ adversus eos utebatur, Hos enim ille quoties injuste agentes viderat, reprehendebat. Illos vero opibus & impietate, & fœdis voluptatibus corruptos, ad virtutem revocabat.

A αὐτῶν ἐκκλησιαζόντων, ἐπὶ τὸν ἴσον τρόπον τῆς ψαλμῳδίας τὸν αὐτοῦ λαὸν προὔτρεπεν ἐν ὀλίγῳ δὲ ἐπισημότεροι γενόμενοι, τοὺς ἀπὸ τῆς ἐναντίας αἱρέσεως ὑπερέβαλλον τῷ πλήθει καὶ τῇ παρασκευῇ καὶ γὰρ δὴ καὶ σταυρῶν ἀργυρᾶ σημεῖα ὑπὸ κηροῖς ἡμμένοις προηγεῖτο αὐτῶν· καὶ εὐνοῦχος τῆς βασιλέως γαμετῆς ἐπὶ τοῦτο τέτακτο, τὴν περὶ ταῦτα δαπάνην καὶ τοὺς ὕμνους παρασκευάζων· ἐντεῦθεν δὲ ἢ ζηλοτυπήσαντες οἱ ἀπὸ τῆς Ἀρείου αἱρέσεως, ἢ ἀμυνόμενοι τοῖς ἀπὸ τῆς καθόλου ἐκκλησίας, εἰς μάχην
B κατέστησαν· καὶ κλείνονται τινες ἑκατέρωθεν· ὁ δὲ Βρίσων, τοῦτο γὰρ ὄνομα τῷ βασιλικῷ εὐνούχῳ, λίθῳ κατὰ τοῦ μετώπου βάλλεται· κινηθεὶς δὲ πρὸς ὀργὴν ὁ βασιλεὺς, ἔπαυσε τῶν ἀπὸ τῆς Ἀρείου αἱρέσεως τὰς τοιαύτας συνόδους· οἱ δὲ ἀπὸ τῆς καθολικῆς, ἐξ αἰτίας τοιᾶσδε τὸν εἰρημένον τρόπον ὑμνεῖν ἀρξάμενοι, καὶ εἰσέτι νῦν οὕτω διέμειναν· Ἰωάννης δὲ ἐκ τούτων, καὶ τῶν ἐπ' ἐκκλησίας λόγων, πρὸς μὲν τὸν δῆμον ἐπεδίδου τὸ φίλτρον· μῖσος δὲ πρὸς τοὺς δυναμένους καὶ τοὺς κληρικοὺς ἐκ τῆς κατ' αὐτὸν παῤῥησίας· τοὺς μὲν γὰρ ἀδικοῦντας ὁρῶν, ἤλεγχε· τοὺς δὲ πλούτῳ, καὶ ἀσεβείᾳ, καὶ ἡδοναῖς ἀσέμνοις διεφθαρμένους, ἀνῆγε πρὸς
C ἀρετήν.

## Caput IX.

*De Serapione Archidiacono, & de sancta Olympiade: & quomodo quidã egregij viri Ioannem contumeliose insectati sint, sævum & violentum appellantes.*

Odium porro Clericorum adversus illum auxit Serapion, quem ipse Archidiaconum constituerat; homo Ægyptius, promptus ad iracundiam, ad contumeliam paratus. Accesserunt quoque exhortationes ab eo factæ ad Olympiadem. Hanc enim, cum nobilissimo genere orta esset, quamvis juvenili ætate viduam, tamen quia juxta leges Ecclesiasticas egregie philosophabatur, Nectarius Diaconissam ordinaverat. Joannes vero cum eam facultates suas petentibus erogare cerneret, & reliqua quidem insuper habere: omnem autem curam Divinis rebus impendere: equidem, inquit, studium tuum laudo. Verum qui perfectæ secundum

## Κεφ. θ.

Περὶ Σεραπίωνος τοῦ ἀρχιδιακόνου, καὶ τῆς ἁγίας ὀλυμπιάδος· καὶ ὥς τινες ὑβριστικῶς τῶν λογάδων κατὰ τοῦ Ἰωάννου ἐφέροντο, σκαιὸν καὶ θυμώδη ἀποκαλοῦντες.

Ηὔξησε δὲ αὐτῷ τὴν πρὸς τοὺς κληρικοὺς ἀπέχθειαν σεραπίων, ὃν ἀρχιδιάκονον αὐτοῦ κατέστησεν· ἀνὴρ αἰγύπτιος, ταχὺς εἰς ὀργὴν, εἰς ὕβριν ἕτοιμος· οὐχ ἥκιστα δὲ καὶ αἱ
D πρὸς ὀλυμπιάδα συμβουλαί· ταύτην γὰρ ἐκ γένους ἐπισημοτάτην οὖσαν, καίπερ νέαν χήραν γενομένην, εἰς ἄγαν δὲ φιλοσοφοῦσαν κατὰ τὸν τῆς ἐκκλησίας θεσμὸν, διάκονον ἐχειροτόνησε νεκτάριος· ἰδὼν δὲ αὐτὴν Ἰωάννης τοῖς αἰτοῦσι τὴν οὐσίαν προϊεμένην, καὶ τὰ μὲν ἄλλα ὑπερορῶσαν, μόνα δὲ τὰ θεῖα σπουδάζουσαν, ἐπαινῶ σου, ἔφη, τὴν προαίρεσιν· ἀλλ' οἰκονομικὸν εἶναι δεῖ, τὸν κατ'

θεὸν τῆς ἄκρας ἀρετῆς ἐφιέμενον· σὺ δὲ, A πλουτοῦσι πλοῦτον ἐπεισάγουσα, οὐχ ἧττον ἢ εἰς θάλασσαν ἐκχέεις τὰ σά· ἢ οὐκ ἐπίστασαι, ὅτι ἑκοῦσα τοῖς δεομένοις διὰ Θεὸν, τὴν οὐσίαν ἀνέθηκας· καὶ ὡς ἐπὶ χρήμασι τῆς σῆς δεσποτείας ἐξελθοῦσι, διοικεῖν ἐτάχθης, καὶ λόγοις ἔνοχος εἶναι· ἢν οὖν ἐμοὶ πείθῃ, πρὸς τὴν χρείαν τῶν αἰτούντων τοῦ λοιποῦ μετρήσεις τὴν δόσιν· οὕτω γὰρ πλείους τε εὐεργετήσεις, καὶ ἐλέους καὶ σπουδαιοτάτης κηδεμονίας ἀμοιβῶν τεύξῃ πρὸς Θεοῦ· γέγονε δέ τις αὐτῷ διαφορὰ καὶ πρὸς πολλοὺς τῶν μοναχῶν, καὶ μάλιστα τὸ Ἰσαάκιον· B ἠρεμοῦντας μὲν γὰρ ἐν τοῖς αὐτῶν μοναστηρίοις τοὺς ὧδε φιλοσοφοῦντας, εἰς ἄγαν ἐπῄνει τε, καὶ ὅπως μὴ ἀδικοῖντο καὶ τὰ ἐπιτήδεια ἔχοιεν, σφόδρα ἐπεμελεῖτο· ἐξιόντας δὲ θύραζε καὶ κατὰ τὴν πόλιν φαινομένους, ὡς τὴν φιλοσοφίαν ἐνυβρίζοντας, ἐλοιδόρει καὶ ἐπέστρεφεν· ἐκ τοιούτων δὴ προφάσεων ἀπηχθάνοντο πρὸς αὐτὸν κληρικοὶ καὶ πολλοὶ τῶν μοναχῶν, χαλεπὸν καὶ ὀργίλον, σκαιόν τε καὶ ὑπερήφανον ἀπεκάλουν· ἐπεχείρουν δὲ καὶ περὶ τὸν βίον διαβάλλειν πρὸς τὸν δῆμον, καὶ τοῦτον πείθειν ὡς ἀληθῆ λέγοιεν, ὅτι μηδενὶ συνή- C σθιεν, οὔτε ἐπὶ ἑστίασιν καλούμενος ὑπήκουε· τούτου δὲ πρόφασιν ἑτέραν λέγειν οὐκ ἔχω, πλὴν ὅτι ἀψευδής τις οἶμαι πυνθανομένῳ περὶ τούτου ἔφη· ὡς ὑπὸ ἀσκήσεως τὴν κεφαλὴν καὶ τὸ στόμα τῆς γαστρὸς κακῶς διατεθεὶς, παρῃτεῖτο τὰς ἐν τοῖς ἀρίστοις συνουσίας· καὶ οἱ μὲν ἐντεῦθεν μάλιστα τὰς μεγίστας ὕφαινον κατ᾽ αὐτοῦ διαβολάς.

Deum virtutis fastigium consequi desiderat, eum sua recte dispensare oportet. Tu vero dum opulentis opes superadjicis, idem facis, ac si tua in mare effunderes. An ignoras, te tuâ sponte facultates tuas indigentibus propter Deum dedicasse: & tanquam in bonis quæ non sunt amplius dominii tui, dispensatricem te appositam, & rationibus reddendis obnoxiam esse. Quod si me audis, pro necessitate petentium, largitionem tuam deinceps moderaberis. Sic enim fiet, ut plures beneficiis à te afficiantur, & tu misericordiæ ac diligentissimæ benignitatis à Deo mercedem accipias. Fuit etiam illi simultas quædam ac dissensio cum monachis nonnullis, ac præcipue cum Isaacio. Hujus enim Philosophiæ sectatores qui in monasteriis suis quiete degerent, magnopere laudabat: utque à nemine afficerentur injuria, & necessaria cuncta haberent, sollicitè procurabat. Eos vero qui foras egrederentur, ac per vicos urbis conspicerentur; tanquam qui professionem suam dedecore afficerent, carpebat atque objurgabat. Hujusmodi ex causis, clerici & monachi complures Joanni infensi erant, & morosum atque iracundum, sævumque ac superbum eum appellabant: Tentarunt etiam ejus vitam criminari apud populum: eaque potissimum ratione fidem dictis suis adstruere, quòd ille cum nemine cibum sumeret, nec ad convivium vocatus accederet. Hujus autem rei causam nullam aliam afferre possum, præter eam quam quidam vir, ut opinor, minime mendax interroganti mihi retulit: eo quod scilicet ob assiduam in virtutis studio contentionem, capitis & stomachi ægritudine laborans, prandiorum cœtus ac frequentiam detrectaret. Et isti quidem hinc potissimum gravissimas adversus eum calumnias texebant.

D

## Κεφ. ι'.

Περὶ σευηριανοῦ τοῦ γαβάλων, καὶ ἀντιόχου τοῦ πτολεμαΐδος· καὶ τὰ μεταξὺ σεραπίωνος καὶ σευηριανοῦ γέγονε· καὶ ὡς διὰ τῆς βασιλίδος τὰ μεταξὺ αὐτῶν διελύθησαν.

Ἐπεγένετο δέ τις αὐτῷ πρόφασις μίσους καὶ πρὸς τὴν βασιλέως γαμετὴν, διὰ σευηριανὸν τὸν ἐκ γαβάλων

## Caput X.

*De Severiano Gabalitano, & Antiocho Ptolemaidis Episcopo: & de his quæ inter Severianum ac Serapionem gesta sunt: & quomodo Imperatrix eos inter se reconciliaverit.*

Accessit autem illi alia quoque simultatis causa adversus Imperatricem, auctore Severiano Gabalorum

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN